ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον ἢ τὸν πατέρα καὶ τὴν μητέρα·
26 26καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις διανοίαις διὰ τὰς γυναῖκας
27 καὶ δοῦλοι ἐγένοντο δι᾽ αὐτάς, 27καὶ πολλοὶ ἀπώλοντο καὶ ἐσφά-
28 λησαν καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας. 28καὶ νῦν οὐ πιστεύετέ
μοι; οὐχὶ μέγας ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶ-
29 ραι εὐλαβοῦνται ἅψασθαι αὐτοῦ; 29ἐθεώρουν αὐτὸν καὶ Ἀπάμην
τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμαστοῦ τὴν παλλακὴν τοῦ βασι-
30 λέως καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως 30καὶ ἀφαιροῦσαν τὸ διά-
δημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως καὶ ἐπιτιθοῦσαν ἑαυτῇ καὶ
31 ἐρράπιζεν τὸν βασιλέα τῇ ἀριστερᾷ. 31καὶ πρὸς τούτοις ὁ βασιλεὺς
χάσκων τὸ στόμα ἐθεώρει αὐτήν· καὶ ἐὰν προσγελάσῃ αὐτῷ,
γελᾷ· ἐὰν δὲ πικρανθῇ ἐπ᾽ αὐτόν, κολακεύει αὐτήν, ὅπως διαλλαγῇ
32 αὐτῷ. 32ὦ ἄνδρες, πῶς οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες, ὅτι οὕτως πράσ-
33 σουσιν; 33καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἐνέβλεπον ἕτερος
34 πρὸς τὸν ἕτερον. — 34καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας Ἄν-
δρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ, καὶ ὑψηλὸς ὁ οὐρα-
νός, καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ
τοῦ οὐρανοῦ καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ
35 ἡμέρᾳ. 35οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια μεγάλη καὶ
36 ἰσχυροτέρα παρὰ πάντα. 36πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ, καὶ ὁ
οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει, καὶ
37 οὐκ ἔστιν μετ᾽ αὐτοῦ ἄδικον οὐθέν. 37ἄδικος ὁ οἶνος, ἄδικος ὁ βα-
σιλεύς, ἄδικοι αἱ γυναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων,
καὶ ἄδικα πάντα τὰ ἔργα αὐτῶν, πάντα τὰ τοιαῦτα· καὶ οὐκ ἔστιν
38 ἐν αὐτοῖς ἀλήθεια, καὶ ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται. 38ἡ δὲ
ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν
39 αἰῶνα τοῦ αἰῶνος. 39καὶ οὐκ ἔστιν παρ᾽ αὐτῇ λαμβάνειν πρόσωπα
οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ
πονηρῶν· καὶ πάντες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς, καὶ οὐκ ἔστιν
40 ἐν τῇ κρίσει αὐτῆς οὐθὲν ἄδικον. 40καὶ αὐτῇ ἡ ἰσχὺς καὶ τὸ βασί-
λειον καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλειότης τῶν πάντων αἰώνων. εὐλο-
41 γητὸς ὁ θεὸς τῆς ἀληθείας. 41καὶ ἐσιώπησεν τοῦ λαλεῖν· καὶ πᾶς
ὁ λαὸς τότε ἐφώνησεν, καὶ τότε εἶπον Μεγάλη ἡ ἀλήθεια καὶ
ὑπερισχύει.

42 42Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ Αἴτησαι ὃ θέλεις πλείω τῶν γε-
γραμμένων, καὶ δώσομέν σοι, ὃν τρόπον εὑρέθης σοφώτερος· καὶ
43 ἐχόμενός μου καθήσῃ καὶ συγγενής μου κληθήσῃ. 43τότε εἶπεν τῷ

28 ευλαβ.] + αυτον AV† || 30 εαυτη] ε > B† || 31 προσγελαση] προσ > B† || 32 ουχι] ουχ B*†: item B*A† in 34 (Bc† ambis locis ουκ) || 33 ενεβλεπον] εν > B | ετερος προς] εις B† || 38 η δε] και η BL† | ισχυσει A† || 39 αυτη] -την B† | διαφθορα A* | ποιειν A*† | και 2⁰ > A† || 41 ειπεν A || 42 ον τροπον] ανθ ων A | μου ult.] μοι A*†